# Βρύσεως Μητρόπολις 1323

από Αρχιεπισκοπής εἰς Μητρόπολιν προβιβάζεται ὑπὸ τοῦ Αὐτοκράτορος μηνί Δεκεμβρίῳ ινδ. Ζ'

Acta Patr. Const. T. A' σ. 96

†. Ἡ βασιλεία μου διὰ τῆς τοῦ θεοῦ χάριτος ἄνωθεν λαβοῦσα ἄδειαν καὶ ἔνδοσιν ἐπὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας εἰς μείζονα τιμὴν ἐπαίρειν καὶ προβιβάζειν, ὅσας ἂν τῶν ἁγίων ἐκκλησιῶν διακρίνοι ἁρμοζούσας πρὸς τοῦτο, θεσπίζει καὶ νῦν διὰ τοῦ παρόντος προστάγματος, εἶναι καὶ εὑρίσκεσθαι τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βρύσεως εἰς μητρόπολιν καὶ συναριθμεῖν τὸν ἐν αὐτῇ εὑρισκόμενον ἱερώτατον ἀρχιερέα τοῖς λοιποῖς ἱερωτάτοις μητροπολίταις τῆς θείας καὶ ἱερᾶς μεγάλης συνόδου τῆς αὐτῆς κλήσεώς τε καὶ τιμῆς κατὰ πάντα τρόπον, ἧς καὶ αὐτοὶ μετέχουσιν, ὅθεν καὶ νῦν μὲν ὀφείλει τυγχάνειν τῆς τοιαύτης τάξεώς τε καὶ τιμῆς ὁ ἱερώτατος μητροπολίτης Βρύσεως καὶ ὑπέρτιμος, καθεξῆς δὲ ἔσται τοῦτο κατὰ τὸν ἴσον τρόπον καὶ εἰς τοὺς μετ' αὐτὸν μέλλοντας εὑρίσκεσθαι κατὰ καιροὺς εἰς γνησίους ἀρχιερεῖς τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως Βρύσεως, ἅτε δὴ καὶ τὸ ἑδραῖον καὶ ἀμετακίνητον ὀφείλοντος ἔχειν τοῦ παρὰ τῆς βασιλείας μου γεγονότος ἐπὶ τῇ τοιαύτῃ ἁγιωτάτῃ ἐκκλησίᾳ προβιβασμοῦ. τούτου καὶ χάριν ἐγένετο καὶ ἀπολύθη

351

# Μητρόπολις Βρύσεως. 1320

ἡ τὸ παρὸν τῆς βασιλείας μου πρόσταγμα.

† εἶχε τὸ μηνὶ δεκεμβρίῳ ἰνδ. γ' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς ἡ θείας χειρός †.

σ. 97. †Ἀλλὰ πῶς ἄν τις τῷ λόγῳ περιλαβεῖν δυνατὸς γένοιτο τὰς παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος γινομένας ἑκάστοτε τοῖς ὑπηκόοις εὐεργεσίας καὶ δωρεάς; κρείττω γὰρ ταῦτα καὶ ἀριθμὸν καὶ τὴν λόγου δύναμιν ὑπερβαίνοντα, ὥστε καὶ καλῶς ἂν εἴη σιγῶν ὁ λόγος καὶ ἑαυτῷ προσηκόντως, ἐπισχὼν τὴν τῶν τοιούτων ἐγχείρησιν, καὶ οὐκ ἐθέλων ὥσπερ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, καὶ ὧν οὐδαμῶς ἂν ἐφίκοιτο. ἄλλοι μὲν οὖν ἄλλως. προσφορὸν γε μὴν ἑκάστῳ κατὰ τὸν ἐνόντα τρόπον αὐτοῖς τὴν εὐεργεσίαν μετέλαβον, καὶ οὐδαμῶς ἂν ἐφίκοιτο. ἄλλοι μὲν οὖν ἄλλως. πρόσφορον γε μὴν ἑκάστῳ κατὰ τὸν ἐνόντα τρόπον αὐτοῖς τὴν εὐεργεσίαν μετέλαβον, καὶ οὐδαμῶς οὐκ ἔστιν οὐδείς, ὃς ἐν τοῖς καθ' αὐτὸν εὐδοκιμηκόσι φανεὶς οὐκ ἀνάλογον καὶ τῆς ἀμοιβῆς ἐπιμοιρη-

ον, ἁπλῶς δ' εἰπεῖν, καὶ πᾶσι τοῖς τι προσηκόντως τι
κατόρθωμα καὶ τοῖς μὴ τοιούτοις κοινὸν ὁ βασιλεὺς ἀ-
γαθόν, ἰδίᾳ τε καὶ κοινῇ πάντων εὐεργέτης, θεὸν κάν-
ταῦθα μιμούμενος. ἄλλοι μὲν οὖν ἄλλως, ὥσπερ ἔφθημεν
εἰπόντες, τῶν ἐκεῖθεν ἀπήλαυσαν χαρίτων, ἄνδρας δὲ
θείους, ἀρετὴν ἀσπαζομένους, λαὸν τε διὰ τοῦτο προσεδρί-
αν καὶ ψυχῶν οἰκονομίαν λαχοῦσι, καὶ ἐνδειξαμένους ἐν
πολλοῖς ὅσοις τὰ τῆς αὐτῶν ἀρετῆς, πρὸς ταῖς ἄλλαις βα-
σιλικαῖς φιλοτιμίαις καὶ δωρεαῖς ἐγεγόνετο κἀκεῖνο, κα-
θέδρας δηλονότι μείζονας καὶ ὑψηλοτέρας ἐπιτυγχάνειν αὐ-
τούς, ἵν' ὥσπερ ἐν τῇ ἀρετῇ καὶ τῷ τρόπῳ, οὕτω δὴ καὶ
ἀπὸ τοῦ θρόνου καὶ τῆς ἀρχῆς τὸ ἐπίσημον ἔχοιεν. τοιού-
τοις ἤδη τετίμηται προβιβασμοῖς καὶ σεμνώμασι βασι-
λικῆς προνοίας καὶ ὁ ἱερώτατος ἀρχιεπίσκοπος Βρύσεως,
εἰς μητροπολιτῶν ὕψωμα καὶ τιμηθεὶς καὶ προβιβασθεὶς
καὶ εἰς τὴν λαχοῦσαν αὐτὸν ταύτην ἁγιωτάτην ἐκκλη-
σίαν τῆς Βρύσεως διαβιβάσας τὰ τῆς τιμῆς εἰς αἰῶνα τὸν
ἑξῆς ἅπαντα, καὶ μάλα εἰκότως, ἀρχιερέα γὰρ αὕτη προσ-
κτήσασα, παντοίοις ἀρετῶν εἴδεσι κομῶντα, καὶ τὸ ὅλον εἰ-
πεῖν, πᾶσι τοῖς καλοῖς καὶ θεοφιλέσι βρύοντα, κλῆρον δι'
αὐτὸν ἤδη τὴν τιμὴν ταύτην ἔλαβεν ἀναφαίρετον.
τοῦ ἐπὶ τούτῳ τοίνυν ἀπολυθέντος σεπτοῦ προστάγματος
τῇ καθ' ἡμᾶς ἱερᾷ καὶ θείᾳ συνόδῳ ἐπαναγνωσθέντος

ἐν ἐσπηκόσω, συνοδικῶς καὶ ἡ μετριότης ἡμῶν διακε-
λεύεται, συναριθμεῖσθαι μετὰ τῶν λοιπῶν μητροπό-
λεων ἀπάρτι τὴν αὐτὴν ἁγιωτάτην ἐκκλησίαν Βρύ-
σεως καὶ τὸν ἱερώτατον ταύτης ἀρχιερέα μητροπολί-
την, ἀλλὰ δὴ καὶ ὑπέρτιμον εἶναί τε καὶ καλεῖσθαι, δια-
βαίνειν δὲ κατὰ τὸν ὅμοιον τρόπον τὴν τοιαύτην τι-
μήν, τήν τε δηλαδὴ τοῦ μητροπολίτου, προσέτι
δὲ καὶ τὴν τοῦ ὑπερτίμου καὶ πρὸς τοὺς μέλλοντας χει-
ροτονεῖσθαι ἀρχιερεῖς ἐν αὐτῇ, καθὼς ὁ κραται-
ὸς καὶ ἅγιός μου αὐτοκράτωρ διορίζεται, καὶ κατὰ
τὴν κρατήσασαν ἐν τοῖς τοιούτοις ἐκκλησιαστικὴν
τάξιν καὶ συνήθειαν. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν συνο-
δικὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται.

+ ἔχε τὸ ϛωκη´ δεκεμβρίῳ ἰνδ. ϛ´ διὰ τῆς
πατριαρχικῆς καὶ θείας χειρός +.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ